# ΝΕΟΣ
# ΕΛΛΗΝΟΜΝΗΜΩΝ

## ΤΡΙΜΗΝΙΑΙΟΝ
## ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ

ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ
ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΙΣΤΟΡΙΑΣ ΕΝ ΤΩΙ ΕΘΝΙΚΩΙ ΠΑΝΕΠΙΣΤΗΜΙΩΙ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

LIBRAIRIE ET IMPRIMERIE
CI-DEVANT
E. J. BRILL.
LEIDE — 1904.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΡΕΙΣ ΕΠΙΣΤΟΛΑΙ ΤΟΥ ΔΗΜΗΤΡΙΟΥ ΚΥΔΩΝΗ

## ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΑΣΑΝΗΝ

Ὁ ἀείμνηστος Ἰωάννης Σακκελίων ἐξέδωκεν ἐν σ. 206-7 τῆς Πατμιακῆς βιβλιοθήκης ἐκ τοῦ ὑπ᾿ ἀρ. ΥΟΑ΄ κώδικος τῆς ἐν Πάτμῳ βιβλιοθήκης ἓν λείψανον ἐπιστολῆς *ἀδήλου* τινὸς καὶ μίαν ὁλόκληρον ἐπιγραφομένην *Τῷ Ἀσάνῃ*. Καὶ περὶ μὲν τοῦ γράψαντος τὰς ἐπιστολὰς οὐδὲν ὑπετόπασε· περὶ δὲ τοῦ Ἀσάνη λέγει· «οὐδένα τῶν ἄλλων ἔγωγε ὑπολαμβάνω εἶναι ἢ τὸν πρωτοβεστιάριον Ἀνδρόνικον· ἄνδρα γένει τε ἐπιφανῆ καὶ στρατηγικῇ ἐμπειρίᾳ τῶν κατ᾿ αὐτὸν πάντων προφέροντα, τέως δὲ καὶ τὴν τῆς Πελοποννήσου διοίκησιν διαπεπιστευμένον»[1].

Ἀλλὰ τίνος εἶνε αἱ δύο ἐπιστολαὶ αὗται, ἥ τε περισωθεῖσα πλήρης καὶ ἐκείνη ἧς τὸ τέλος μόνον περιλειφθὲν ἐν τῷ πατμιακῷ κώδικι ἐξέδωκεν ὁ Σακκελίων, διδασκόμεθα ἐκ τοῦ κώδικος τοῦ Βρεττανικοῦ μουσείου Burn. 75, γεγραμμένου τὸν δέκατον πέμπτον αἰῶνα, ἐν ᾧ περιλαμβάνονται ἐπιστολαὶ τοῦ Νικολάου Καβάσιλα καὶ τοῦ Δημητρίου Κυδώνη. Καὶ δὴ μεταξὺ τῶν τοῦ Κυδώνη φέρεται ἐν φ. $233^{6}$ ἀνεπίγραφος, ἀριθμὸν φέρουσα *πβ΄*, ἐκείνη ἡ ἐπιστολή, ἧς τὸ ὅλον κείμενον, ἐπιγραφομένης ἐν τῷ πατμιακῷ κώδικι Τῷ Ἀσάνῃ, ἐξέδωκεν ὁ Σακκελίων. Εἶνε ἄρα τοῦ Δημητρίου Κυδώνη αὕτη ἡ ἐπιστολή. Τίς δὲ ὁ Ἀσάνης, εἰς ὃν ἀπευθύνεται, διδασκόμεθα ἐκ τοῦ ἑξῆς συνδυασμοῦ. Ἐν φ. $184^{6}$-$185^{a}$ τοῦ αὐτοῦ βουρνεϊανοῦ κώδικος εὕρηται ἄλλη ἐπιστολὴ ὑπ᾿ ἀριθμ. ιγ΄, ἐπιγραφομένη *Κωνσταντίνῳ τῷ Ἀσάνῃ*. Ἐκ ταύτης, ἐκδιδομένης παρ᾿ ἐμοῦ

[1] Ἴδε **Νικηφόρου Γρηγορᾶν** ἐκδ. Βόννης Τόμ. Α΄ σ. 362.

Ε.Υ.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κατωτέρω, θὰ ἴδῃ ὁ ἀναγνώστης, ὅτι αὕτη ἔχει ἀντικείμενον τὸ αὐτὸ καὶ τὸ τεμάχιον τῆς παρὰ τῷ Σακκελίωνι ἀκεφάλου καὶ ἀνεπιγράφου. Ἐν ἀμφοτέραις λέγεται, ὅτι ὁ Ἀσάνης ἀπεμακρύνθη παρ' ἐλπίδα τῆς Κωνσταντινουπόλεως καὶ ἐπελήφθη πλοῦ, καθ' ὃν ἐμπίπλαται *μάζης καὶ σκορόδων* ἀντὶ πάσης περὶ τὴν τράπεζαν χλιδῆς, καὶ ἐν ἀμφοτέραις γίνεται μνεία τῶν ᾠδῶν τῶν *ἐρεττόντων*. Ἐγράφησαν ἄρα ἀμφότεραι ὑπὸ τοῦ Κυδώνη πρὸς τὸν αὐτὸν Κωνσταντῖνον Ἀσάνην, πλεύσαντ' ἀλλαχόσε ἢ εἰς τὴν Πελοπόννησον, τῶν ἐξ ἧς στατήρων γίνεται μνεία ἐν τῇ ἐπιστολῇ τῇ ἐκδοθείσῃ ὅλῃ ὑπὸ τοῦ Σακκελίωνος. Ἐπειδὴ δὲ αὕτη ἕπεται ἐν τῷ κώδικι τῆς μονῆς τῆς Πάτμου ἀμέσως εἰς τὸ λείψανον τῆς ἐπιστολῆς ἐκείνης, ἥτις διὰ τὴν ταὐτότητα τῆς ὑποθέσεως ἐξελέγχεται ὁμοίως γεγραμμένη πρὸς τὸν Κωνσταντῖνον Ἀσάνην, ἕπεται, ὅτι καὶ αὕτη, ὡς αἱ δύο ἄλλαι, ἐστάλη πρὸς τὸν αὐτὸν καὶ ὄχι πρὸς τὸν Ἀνδρόνικον Ἀσάνην, πρὸς ὃν ὑπέθεσεν αὐτὴν γραφεῖσαν ὁ Σακκελίων.

Καὶ ἡ μὲν ἐν τῷ βουρνεϊανῷ κώδικι ῥητῶς πρὸς τὸν Κωνσταντῖνον Ἀσάνην ἐπιγραφομένη ἐπιστολὴ φέρει τὴν αὐτὴν ἐπιγραφὴν καὶ ἐν τῷ βατικανικῷ κώδικι 481 φ. 160β, ὁ δὲ Jorio ἀνακριβῶς λέγει, ὅτι ἡ ἐπιστολὴ αὕτη τοῦ Κυδώνη ἐν οὐδενὶ ἄλλῳ κώδικι περιεσώθη, ἅτε ὅλως ἀγνοῶν τὸν ὑπ' ἐμοῦ ἀντιγραφέντα βουρνεϊανὸν κώδικα[1]. Ἡ δ' ἐν τῷ πατμιακῷ κώδικι ἐπιγραφομένη *Τῷ Ἀσάνῃ*, ἡ ὅλως ἀνεπίγραφος περισωθεῖσα ἐν τῷ βουρνεϊανῷ κώδικι, ὁμοίως ἀνεπίγραφος φέρεται ἐν ἅπασι τοῖς εἴκοσι καὶ πέντε κώδιξιν, οὓς περιλαμβάνοντας ἐπιστολὰς τοῦ Κυδώνη ἐμελέτησε καὶ ἀναγράφει ὁ Jorio[2].

Μετὰ δὲ τὰ εἰρημένα παραθέτω κατωτέρω ὑπὸ μὲν ἀριθμὸν 1 τὸ παρὰ τῷ Σακκελίωνι τεμάχιον ὡς ἔχει παρ' αὐτῷ, ὑπὸ δὲ ἀριθμὸν 2 τὴν ἐν τῷ φ. 184β - 185α τοῦ βουρνεϊανοῦ κώδι-

[1] *Jorio* L'Epistolario di Demetrio Cidone ἐν Studi Italiani di Filologia classica. Τόμ. Δ' (1896) σ. 263 καὶ σ. 280.

[2] Ἔνθ' ἀν. σ. 284 ἀρ. 283.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

χος ἐπιστολὴν, ἐκδιδομένην τὸ πρῶτον ἐνταῦθα, τέλος δὲ ὑπ' ἀριθμὸν 3 πληρεστέραν καὶ μᾶλλον ἀπηκριβωμένην κατὰ τὸν βουρνειανὸν κώδικα τὴν ἐν τῇ Πατμιακῇ βιβλιοθήκῃ ἐκδοθεῖσαν ὅλην μὲν, ἀλλὰ μετά τινων χασμάτων ἕνεκα φθορᾶς τοῦ πατμιακοῦ κώδικος. Ὑποσημειόνω δὲ διὰ Β μὲν τὰς γραφὰς τοῦ βουρνειανοῦ κώδικος, διὰ Σ δὲ τὰς παρὰ Σακκελίωνι. Ἐπιφυλάσσομαι δὲ νὰ γράψω ἄλλοτε διὰ μακρῶν περί τε τούτων τῶν ἐπιστολῶν καὶ τῶν λοιπῶν τοῦ Κυδώνη, ἃς ἐξέγραψα πάσας τῷ 1877 ἐκ τοῦ βουρνειανοῦ κώδικος, πολλὰς αὐτῶν καὶ πρὸς ἄλλους κώδικας ἀλλαχοῦ ἀποκειμένους ἀντιβαλών.

## 1.

. . . . . δὲ τὴν λύπην ἡμῖν τὸ μὴ τῶν συμφορῶν κοινωνοὺς ὑμᾶς ἔχειν, μηδὲ τοῖς ἡμετέροις κακοῖς καὶ τὰ τῶν φίλων προςκεῖσθαι. Οὐκ ἂν οὖν οὐδ' αὐτὸς δικαίως ἀλγοίης [πόρ]ρω τῆς μεγάλης πόλεως ὤν· βαράθρου γάρ ἐστιν ἄντικρυς νῦν ἐρᾶν ταύτης ἐπιθυμοῦντα. Ὥςτε νῦν μὲν ἐπὶ νήσους κομίζου καὶ λιμένας περιεργάζου καὶ μετὰ τῶν ἐρεττόντων ᾧδε μάζης ἐμπιπλάμενος καὶ σκορόδων. Τοῦ θεοῦ δὲ διηλλαγμένου καὶ αὐτὸς ἥκειν δεῦρο. Τύχῃ ἀγαθῇ.

## 2.

### Κωνσταντίνῳ τῷ Ἀσάνῃ.

Ἐγὼ δὲ πρότερον ᾤμην μεταπεσεῖσθαι τὸν Καύκασον ἢ σὲ τὴν περὶ τοῦ μὴ πλεῖν ψῆφον κινήσειν. Οὐ γὰρ λόγοις μόνον καὶ τῇ τοῦ προςώπου στυγνότητι ὅσον πρὸς τὴν θάλατταν ἀπεχθῶς εἶχες ἐδείκνυς, ἀλλ' ἦν ἐν τῇ ταύτης κατηγορίᾳ καὶ ὅρκος μηδέποτέ σε μηδ' ἐν ταῖς ἀλκυόνος ἡμέραις νεὼς ἐπιβήσεσθαι. Νῦν δὲ πάντα ἐκεῖνα πεπάτηται καὶ ὁ κύνας καὶ ἵππους ἐπὶ τὰ θηρία πρότερον ἐλαύνων Ἀσάνης καὶ μηδ' ἀπὸ τῶν ὀρῶν τὴν θάλατταν ἀνεχόμενος βλέπειν ἐξαί-

1. 6 7. διηλλαγμένου ἔγραψα: διημαγμένου παρὰ Σακελλίωνι

2. Ἐπιγραφή: Κωνσταντινω τῶ ἀσάνη Β 3. ὅσον ἔγραψα: ὅσην Β 4. κατηγορίᾳ καὶ ὅρκος ἔγραψα: κατηγορία ἀλλ' ἐν τῇ ᾠα Γρ. κατηγορία καὶ ὅρκος Β μηδ' ἔγραψα: μὴδ' Β 7. ὀρῶν ἔγραψα ὄρων Β

φνης ἡμῖν τὸν Ἀνθηδόνιον ἐμιμήσατο Γλαῦκον, ἐν τῇ θαλάττῃ τὴν οἰκίαν πηξάμενος. Καὶ τρέχει μὲν ἐπὶ τὸν λιμένα, ἀνάγεται δὲ ἐκεῖθεν ἥδιον ἢ οἱ μετὰ χειμῶνα καταίροντες, καὶ κλίνης μὲν αὐτῷ πάσης μαλακώτερον τὸ κατάστρωμα, ἡ δὲ κοίλη ναῦς σεμνότερον καὶ τῶν ἐν βασιλείοις στοῶν. Σύβαρις δὲ αὐτῷ τὰ σκόροδα καὶ ἡ μάζα καὶ πρὸ τῶν ἀηδόνων αἱ τῶν ἐρεττόντων ᾠδαί, καὶ βωμολοχούντων ἥδιον ῥητορευόντων ἄλλων ἀκούει, καὶ πᾶσα ἐπὶ τὰς τριήρεις ἡδονὴ μετενήνεκται. Τί ταῦτ' ὦ 'γαθέ; τί τοσοῦτον ἐξαίφνης ἡμῶν καὶ τῆς ἠπείρου κατέγνως, τί δὲ τὸ τοὺς ὅρκους σοι βιασάμενον; Ἀλλ', ὡς ἔοικεν, ἀνίκητόν τι ζῷον ὁ βασιλεύς, κἂν βουληθῇ πάσης ἀνάγκης ἐκράτησεν, οὐδ' ἔστιν οὗ κελεύων ἢ πείθων οὐκ ἂν περιγίνοιτο. Ἐπὶ τοσοῦτον ἀναχωρήσεις, εὖ οἶδα, καὶ αὐτὸς ἐγκαλούμενος καὶ το 'κείνου πρόσταγμα τῆς μεταβολῆς αἰτιάσῃ. Τί γὰρ ἂν ἐποίουν, ἐρεῖς, τούτου κελεύοντος; Σὺ μὲν ταῦτα φήσεις, ἐμὲ δὲ οὐ πείσεις. Οἶδα γὰρ ὅτι τὸ μὲν παρὰ τοῦ βασιλέως ἀμελεῖσθαι τὴν κατὰ τῆς θαλάττης ὀργήν σοι ποιεῖ, ἂν δ' ἐκεῖνος ὑπόσχηται καὶ γελάσῃ, ἀσφαλέστερα τῆς ἠπείρου τὰ κύματα. Ἐγὼ δ' ἂν εἴποιμι καὶ τοῦτο πρὸς τοὺς ὑπὲρ τῆς μεταβολῆς ἀποροῦντας, ὡς τοῖς ὑπὸ σοῦ πρὶν ἠργμένοις οὐκ ἐχρῆν ἄνευ σοῦ τέλος ἐπιθεῖναι τὸν βασιλέα. Νῦν μὲν οὖν ἐμφοροῦ τῆς τύχης καὶ σύνισθι βασιλεῖ, εὐδαίμονας οὓς ἂν βούλοιτο ποιεῖν δυναμένῳ, τήν τε Ἀσίαν τῇ Εὐρώπῃ διάλλαττε, τὰ μὲν διδούς, τὰ δὲ δεχόμενος δῶρα. Φρόντισον δὲ πῶς ἐπανιὼν τῶν λημμάτων καὶ ἡμῖν κοινωνήσεις. Ἂν γὰρ μόνος τρυφᾶν βουληθῇς, οὐκ οἴσεις τοὺς ὑπὲρ τῆς μεταβολῆς ἐγκαλοῦντας. Οὕτω πανταχόθεν πολλοὺς ἐγερῶ σοι τοὺς κατηγόρους.

10. μετὰ χειμῶνα ἔγραψα: μεταχειμῶνα Β  12. Τὸ μάζα τοῦ κώδικος εἶνε πιθανώτατα ἡ γραφὴ αὐτοῦ τοῦ Κυδώνη, οὐδὲ δέον νὰ διορθώσωμεν μᾶζα

13. βωμολοχούντων - ἀκούει ἔγραψα: βωμολοχούντων ὥσπερ ῥητορευόντων ἀκούειν ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ Γρ. βωμολοχούντων ἥδιον ἢ ῥητορευόντων ἄλλων ἀκούει Β  15. τί ταῦτ' ἔγραψα: τιταῦτ' Β  18 (καὶ 20, 23) ἂ'ν Β  28. διάλλαττε ἔγραψα: διάλαττε Β  δὲ' Β.  29. δὲ πῶς ἔγραψα: δέ πως Β  29-30. κοινωνήσεις ἔγραψα: κοινωνήσῃς Β

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

## 3.

## Τῷ Ἀσάνῃ.

Ὃ μόνον ἡμᾶς ἀνεῖχεν ἐπὶ τῆς ξένης, καὶ τοῦτ' αὐτὸς ἀφελόμενος ᾤχου. Ποίαν γὰρ τῶν φίλων οὐκ ἂν ἐκένωσε λύπην ἡ σὴ συνουσία, ἢ καὶ τῶν ἐς δεῦρο συμφορῶν ἡμῖν φάρμακον γέγονεν; Ἀλλ', ὡς ἔοικεν, οὐδὲν ἔδει μέτρον ἡμῖν εἶναι τῆς δυστυχίας, καὶ τοῦτ' ἦν ὃ καὶ σοὶ τὴν ἀποδημίαν ἐποίει, ἵν' ἡμῖν οὐκ ὄντος τοῦ κουφίζοντος προσβάλλῃ τὰ δυσχερῆ. Μετὰ γὰρ τὴν Νεάπολιν καὶ τὸν Ἀγκῶνα καὶ τὴν αὐτόθι μακροτάτην διατριβήν, ἣ τοὺς μὲν ἡμετέρους ἠνίασε, τῶν δὲ ξένων πολλοὺς ἡμῖν τῆς ἀβελτηρίας ἤγειρε κατηγόρους, εἰ μηδὲν ἕτερον ἴσμεν πράττειν, πλὴν τοῦ τοὺς καιροὺς ἀναλίσκειν, ἤλθομεν μὲν εἰς τὴν Βενετίαν, ἐφ' ἣν πόρρωθεν ἠπειγόμεθα καὶ ἣν τοὺς Κροίσου θησαυροὺς ἡμῖν ἠλπίζομεν δείξειν καὶ τέλος ἐπιθήσειν ταῖς μεγάλαις ἐκείναις ἐλπίσιν· ἀλλὰ κἀνταῦθα πλὴν θριάμβων καὶ κρότων παρὰ τὴν εἴσοδον καὶ τοῦ πάντων εὐγενέστατον κριθῆναι τὸν βασιλέα τἆλλα πάντα, τοῦτο δὴ τὸ λεγόμενον, ἄνθρακες. Πάλιν γὰρ ἐνέχυρα καὶ δανειστὴς μόλις ἐπὶ πολλῷ δανείζειν πειθόμενος καὶ νῦν μὲν ὑπισχνούμενος, αὔριον δὲ ἀναβαλλόμενος καὶ ταῖς ἀναβολαῖς ταύταις αὔξων τὴν ἀπορίαν. Ἀνδρὶ γὰρ ἐμπόρῳ καὶ τῶν ὀφθαλμῶν οἱ ὀβολοὶ τιμιώτερον, καὶ πόσα ἂν δεηθείης, εἰ μέλλεις πείσειν αὐτούς σοι μεταδοῦναι τῶν παιδικῶν. Ἡ δὲ μεγάλη βουλὴ καὶ οἱ ἔφοροι αὐτὸ τοῦτο βουλή, καὶ σκέπτονται συνεχῶς οὐχ ὅπως τι πράξουσιν, ἀλλ' ὅπως ἐρίῳ στέψαντες καὶ μύρῳ χρίσαντες καὶ χελιδόνος καταθέντες τιμὴν οὐκ ἀτίμως τῆς πόλεως ἐξελάσουσιν. Οἱ δὲ μισθοφόροι ἐπίκεινται μισθοδοτεῖν καὶ ἀποπλεῖν ἀναγκάζοντες, βοᾷ δὲ πᾶς τὴν ἐπάνοδον, καὶ κέρδος ἡγοῦνται τὸ τοῖς οἰκείοις συναπολέσθαι. Οὐκ οἶδ' εἰ τὴν ἡμετέραν πενίαν οἱ τῆς Πελοποννήσου στατῆρες παραμυθήσονται. Καὶ σὺ τῶν τοῦ

4. μέτρον Β: [μέ]τρον Σ  τοῦτ' ἦν Β: τοῦτο νῦν Σ  5-6. προσβάλλη Β: προσβάλῃ Σ  8. ἀβελτηρίας ΒΣ  10. βενετίαν Β: Βενυντίαν Σ  ἠπειγόμεθα Β: ἐπειγόμεθα Σ  11. ἡμῖν Β: λείπει Σ  δείξειν Β: [παρέ]ξειν Σ  12. ἐλπίσιν Β: [ἐλ]πίσιν Σ  13. τἆλλα Σ: τάλλα Β  15. δανειστὴς μόλις Β: δανεισταὶ Σ  17-18. τιμιώτερον Β: τιμιώτεροι Σ  18. μέλλεις ΒΣ: ἴσως γραπτέον μέλλοις  20. τι ἔγραψα: τί ΒΣ  πράξουσιν Β: δράσουσιν Σ  20-21. στέψαντες Β:..... Σ  24. οἶδ' Β: οἶδα Σ

βασιλέως μνησθεὶς ἐντολῶν ἀργυρολογήσεις τοὺς προςαιτοῦντας, ἐφόδια γοῦν πρὸς τὴν πατρίδα πορίσας, ὡς τόν γ᾿ ἀξιοῦντα χρήματ᾿ ἐλπίζειν ἑτέρωθεν πάντες ἐλλεβόρου δεῖσθαί φασι. Τούτων σε θεὸς ἐξήγαγεν ὥςπερ Αἴαντα τῶν βελῶν, καὶ σύνει βασιλεῖ εἴ τίς τι λέγοι σοφὸν ἀποδεχομένῳ· οὗ καθ᾿ ἡμέραν ἀκούων τὰ μνήμης ἄξια λέγοντος καὶ εἴ τί σοι πρότερον ἡμῖν συνόντι προςγέγονεν ἀηδίας καὶ τοῦθ᾿ ὥςπερ τινὰ νόσον ἀπορρίπτεις ῥᾳδίως, ἀμιγῆ πάσης λύπης τὴν ἀπὸ τῶν λόγων καρπούμενος ἡδονήν. Δέδοικα μέντοι κἀνταῦθα τὸ τοῦ Σωκράτους καὶ τὸ τὴν αὐτὴν εἶναι κορυφὴν ἡδονῇ τε καὶ λύπῃ. Οἶδα γὰρ ὡς ἐν τοῖς τῶν διαλέξεων συμπεράσματιν ὁ Παλαμᾶς ὥςπερ τι τῶν πορισμάτων ἐξάπινα φύεται. Φανέντι δὲ σὺ μὲν ἐπιτρέχεις καὶ σπαράττειν εὐθὺς προθυμῇ τὸ θηρίον· ὁ δὲ οὐ ῥᾳδίως τὸν ἄνδρα προδίδωσιν, ἀλλ᾿ ἀμύνει σπουδῇ εἴ τις ἐπιχειροίη συμπλέκεσθαι. Τοῦτο δ᾿ ἴσως ἀηδῶς ὑμᾶς ἀπαλλάττεσθαι πείθει.

---

27. χρήματ᾿ Β: χρήματα Σ 28. πάντες Β: πάντως Σ δεῖσθαί φασι ἔγραψα: δεῖσθαι φασὶ ΒΣ 29. βελῶν Β: βολῶν Σ τίς τι Σ: τις τί Β 30. καθ᾿ ἡμέραν Σ: καθημέραν Β 31. τί ἔγραψα: τι ΒΣ 31-32. ὥςπερ τινὰ Σ: ὥςπέρ τινα Β 33-34. Δέδοικα-λύπη Β: λείπουσι Σ 35. ὥςπερ Σ: ὥςπέρ Β 36. πορισμάτων Β: .... ρισμάτων Σ ἐπιτρέχεις Β: ἐπι..... Σ 37. ὁ Σ: ὃ Β προδίδωσιν Β: προδίδωσι Σ 38. ἀλλ᾿— συμπλέκεσθαι Β: λείπουσι Σ 39. πείθει Β: πείσει Σ